# *ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΘ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ*

*Εἰπέ, θεά, κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων*
*καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων*
*καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος Ἠώς,*
*καὶ Σηστὸν καὶ Ἄβυδον, ὅπῃ γάμος ἔννυχος Ἡροῦς.*
*νηχόμενόν τε Λέανδρον ὁμοῦ καὶ λύχνον ἀκούω,*
*λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,*
*Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην,*
*λύχνον, ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς*
*ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων*
*καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,*
*ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων*
*ἀγγελίην τε φύλαξεν ἀκοιμήτων ὑμεναίων,*
*πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.*
*ἀλλ' ἄγε μοι μέλποντι μίαν συνάειδε τελευτὴν*
*λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο Λεάνδρου.*
*Σηστὸς ἔην καὶ Ἄβυδος ἐναντίον ἐγγύθι πόντου·*
*γείτονές εἰσι πόληες· Ἔρως δ' ἀνὰ τόξα τιταίνων*
*ἀμφοτέραις πολίεσσιν ἕνα ξυνέηκεν ὀιστόν,*